τόρνευ᾽, ἕλκε, μή σ᾽ ἐξοδυνηθεὶς
δράσῃ τι μάταιον.
ΚΥ. ὤμοι, κατηνθρακώμεθ᾽ ὀφθαλμοῦ σέλας.
ΧΟ. καλός γ᾽ ὁ παιάν· μέλπε μοι τόνδ᾽, ὦ Κύκλωψ.
ΚΥ. ὤμοι μάλ᾽, ὡς ὑβρίσμεθ᾽, ὡς ὀλώλαμεν.
ἀλλ᾽ οὔτι μὴ φύγητε τῆσδ᾽ ἔξω πέτρας
χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ
σταθεὶς φάραγγος τάσδ᾽ ἐναρμόσω χέρας.
ΧΟ. τί χρῆμ᾽ ἀυτεῖς, ὦ Κύκλωψ; ΚΥ. ἀπωλόμην.
ΧΟ. αἰσχρός γε φαίνει. ΚΥ. κἀπὶ τοῖσδέ γ᾽ ἄθλιος.
ΧΟ. μεθύων κατέπεσες εἰς μέσους τοὺς ἄνθρακας;
ΚΥ. Οὖτίς μ᾽ ἀπώλεσ᾽. ΧΟ. οὐκ ἄρ᾽ οὐδείς σ᾽ ἠδίκει.
ΚΥ. Οὖτίς με τυφλοῖ βλέφαρον. ΧΟ. οὐκ ἄρ᾽ εἶ τυφλός.
ΚΥ. ὡς δὴ σύ. ΧΟ. καὶ πῶς σ᾽ οὔτις ἂν θείη τυφλόν;
ΚΥ. σκώπτεις. ὁ δ᾽ Οὖτις ποῦ ᾽στιν; ΧΟ. οὐδαμοῦ,
Κύκλωψ.
ΚΥ. ὁ ξένος, ἵν᾽ ὀρθῶς ἐκμάθῃς, μ᾽ ἀπώλεσεν,
ὁ μιαρός, ὅς μοι δοὺς τὸ πῶμα κατέκλυσε.
ΧΟ. δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς.
ΚΥ. πρὸς θεῶν, πεφεύγασ᾽ ἢ μένουσ᾽ εἴσω δόμων;
ΧΟ. οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα
λαβόντες ἑστήκασι. ΚΥ. ποτέρας τῆς χερός;
ΧΟ. ἐν δεξιᾷ σου. ΚΥ. ποῦ; ΧΟ. πρὸς αὐτῇ τῇ πέτρᾳ.
ἔχεις; ΚΥ. κακόν γε πρὸς κακῷ· τὸ κρανίον
παίσας κατέαγα. ΧΟ. καί σε διαφεύγουσί γε.
ΚΥ. οὐ τῇδ᾽; ἐπεὶ τῇδ᾽ εἶπας. ΧΟ. οὔ· ταύτῃ λέγω.
ΚΥ. πῇ γάρ; ΧΟ. περιάγου, κεῖσε, πρὸς τἀριστερά.
ΚΥ. οἴμοι γελῶμαι· κερτομεῖτέ μ᾽ ἐν κακοῖς.
ΧΟ. ἀλλ᾽ οὐκέτ᾽, ἀλλὰ πρόσθεν οὗτός ἐστί σου.
ΚΥ. ὦ παγκάκιστε, ποῦ ποτ᾽ εἶ; ΟΔ. τηλοῦ σέθεν
φυλακαῖσι φρουρῶ σῶμ᾽ Ὀδυσσέως τόδε.
ΚΥ. πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;

---

672. σ᾽] addidit Matthiae. 674. *καὶ πῶς σ᾽ οὔτις ἂν θείη*] Canterus, *καὶ πῶς σύ. τίς ἂν θείη* libri. 677. *κατέκλυσε*] Canterus, *κατέκαυσε* libri. 686. *περιάγου, κεῖσε*] Nauckius, *περιάγουσίν σε* libri. 690. *σῶμ᾽*] Canterus, *δῶμ᾽* libri.